φαντασίας ἀγωγοὺς ἐπὶ τὴν συγκατάθεσιν, καθ' εἱμαρμένην
αἱ συγκαταθέσεις γίνεσθαι λέγονται, πῶς οὐ μάχεται πρὸς
ἑαυτὴν πολλάκις ἐν τοῖς μεγίστοις διαφόρους ποιοῦσα F
φαντασίας καὶ περισπώσας ἐπὶ τἀναντία τὴν διάνοιαν, ὅτε
τοὺς προστιθεμένους τῇ ἑτέρᾳ καὶ μὴ ἐπέχοντας ἁμαρτά-
νειν λέγουσιν, ἂν μὲν ἀδήλοις εἴκωσι, προπίπτοντας, ἂν δὲ
ψευδέσι, διαψευδομένους, ἂν δὲ κοινῶς ἀκαταλήπτοις, δο-
ξάζοντας; καίτοι δεῖ, τριῶν ὄντων, ἢ μὴ πᾶσαν εἶναι φαν-
τασίαν εἱμαρμένης ἔργον ἢ πᾶσαν παραδοχὴν φαντασίας
καὶ συγκατάθεσιν ἀναμάρτητον ἢ μηδ' αὐτὴν τὴν εἱμαρ-
μένην ἀνεπίληπτον· | οὐκ οἶδα γὰρ ὅπως ἀνέγκλητός ἐστι 1057
τοιαύτας ποιοῦσα φαντασίας, αἷς τὸ μὴ μάχεσθαι μηδ'
ἀντιβαίνειν ἀλλ' ἕπεσθαι καὶ εἴκειν ἐγκλητόν ἐστι. καὶ
μὴν ἔν γε τοῖς πρὸς τοὺς Ἀκαδημαϊκοὺς ἀγῶσιν ὁ πλεῖστος
λόγος αὐτῷ τε Χρυσίππῳ καὶ Ἀντιπάτρῳ περὶ τίνος γέ-
γονε; περὶ τοῦ 'μήτε πράττειν μήθ' ὁρμᾶν ἀσυγκαταθέ-
τως, ἀλλὰ πλάσματα λέγειν καὶ κενὰς ὑποθέσεις τοὺς
ἀξιοῦντας οἰκείας φαντασίας γενομένης εὐθὺς ὁρμᾶν μὴ
εἴξαντας μηδὲ συγκαταθεμένους.' αὖθις δέ φησι Χρύσιπ-
πος καὶ τὸν θεὸν ψευδεῖς ἐμποιεῖν φαντασίας καὶ τὸν σο-
φόν, οὐ συγκατατιθεμένων οὐδ' εἰκόντων δεομένους ἡμῶν, B
ἀλλὰ πραττόντων μόνον καὶ ὁρμώντων ἐπὶ τὸ φαινόμενον·
ἡμᾶς δὲ φαύλους ὄντας ὑπ' ἀσθενείας συγκατατίθεσθαι
ταῖς τοιαύταις φαντασίαις. ἡ δὲ τούτων τῶν λόγων ταραχὴ
καὶ διαφορὰ πρὸς αὐτοὺς οὐ πάνυ δυσθεώρητός ἐστιν. ὁ γὰρ